ἰατροὺς διὰ τῶν φαρμάκων ταῖς θεραπείαις χρωμένους, κἂν μὲν ὁ τοῦ ♄ αὐτοῖς μαρτυρήσῃ, ἱερῶν ζώων θεραπευτάς, ἀνθρώπων ἐνταφιαστάς, θρηνῳδούς, τυμβαύλας, ἐνθουσιαστάς, ὅπου μυστήρια καὶ θρῆνοι καὶ αἱμαγμοί, τὰς ἀναστροφὰς ποιουμένους. ἐὰν δὲ ὁ τοῦ ♃, ἱεροπροσπόλους, οἰωνιστάς, ἱεροφόρους, γυναικῶν προισταμένους, γάμων καὶ συνεπιπλοκῶν ἑρμηνέας. καὶ διὰ τῶν τοιούτων ζῶντας, ἀπολαυστικοὺς ἅμα καὶ ῥιψοκινδύνους. καὶ τῶν ζῳδίων δὲ ἐν οἷς ἂν ὦσιν οἱ τὸ πρᾶσσον παρέχοντες, αἱ κατ' εἶδος ἰδιοτροπίαι συμβάλλονταί τι πρὸς τὸ ποικίλον τῶν πράξεων. τὰ μὲν γὰρ ἀνθρωπόμορφα συνεργεῖ πως πρὸς πάσας τὰς ἐπιστημονικὰς καὶ πρὸς τὴν ἀνθρωπίνην χρείαν καταγινομένας. τὰ δὲ τετράποδα πρὸς τὰς μεταλλικάς, καὶ ἐμπορικὰς καὶ οἰκοδομικάς, καὶ τεκτονικάς, τὰ δὲ τροπικὰ καὶ ἰσημερινά, πρὸς τὰς μεταβολικάς, καὶ ἑρμηνευτικάς, καὶ γεωμετρικάς, καὶ γεωργικάς, καὶ ἱερατικάς, τὰ δὲ χερσαῖα καὶ κάθυγρα, πρὸς τὰς ἐν ὑγροῖς ἢ διὰ ὑγρῶν, καὶ τὰς βοτανικάς, καὶ ναυπηγικάς. ἔτι δὲ περὶ ταφάς, ἢ ταριχείας, ἢ ἁλείας ἢ φυλλίας. ἰδίως δὲ πάλιν ἐὰν ἡ ☾ τὸν προσθετικὸν τόπον ἐπισχῇ, τὸν ἀπὸ συνδέσμου δρόμον ποιουμένη, σὺν τῷ τοῦ ☿, ἐν μὲν τῷ τοῦ ταύρου καὶ αἰγοκέρωτος ♋ καρκίνου ποιεῖ μάντεις, θύτας, λεκανομάντεις. ἐν δὲ ♐ καὶ ἰχθύσι νεκυομάντεις καὶ δαιμόνων κινητικούς, ἐν δὲ ♍ καὶ ♏ μάγους, ἀστρολόγους, ἀποφθεγγομένους, προγνώσεις ἔχοντας, ἐν δὲ ♎ καὶ ♈ καὶ ♌, θεολήπτους, ὀνειροκρίτας, ἐξορκιστάς. τὸ μὲν οὖν αὐτῶν τῶν πράξεων εἶδος διὰ τῶν τοιούτων κατὰ τὸ συγκρατικὸν εἶδος δεήσει στοχάζεσθαι, τὸ δὲ μέγεθος αὐτῶν ἐκ τῆς τῶν οἰκοδεσποτησάντων ἀστέρων δυνάμεως, ἀνατολικοὶ μὲν γὰρ ὄντες, ἢ ἐπίκεντροι, ποιοῦσι τὰς πράξεις αὐθεντικάς, δυτικοὶ δὲ ἢ ἀποκεκλικότες τῶν κέντρων, ὑπουργικάς. καὶ ὑπὸ μὲν ἀγαθοποιῶν καθυπερτερούμενοι, μεγάλους καὶ ἐπιδόξους, καὶ ἐπικερδεῖς, καὶ ἀπταίστους, καὶ ἐπαφροδίτους. ὑπὸ δὲ κακοποιῶν, ταπεινούς, καὶ ἀδόξους, καὶ ἀπερικτήτους, καὶ ἐπισφαλεῖς, τοῦ μὲν ♄ ἐναντιουμένου, καταψύξεις καὶ χρωμοκρασίας, τοῦ δὲ ♂, ῥιψοκινδυνευσίας, καὶ περιβοησίας, ἀμφοτέρων δὲ κατὰ τὰς τελείας ἀναστασίας, τοῦ καθολικοῦ χρόνου τῆς αὐξήσεως, ἢ τῆς ταπεινώσεως πάλιν θεωρουμένου, διὰ τῆς τῶν αἰτίων τοῦ ἀποτελέσματος ἀστέρων, πρὸς τὰ ἑῷα καὶ τὰ ἑσπέρια κέντρα διαθέσεως.